τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέ-
μιστα ποιεῖν ἡγεῖτο. ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν
ἔδωκαν οἱ θεοί, μανθάνειν, ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώ-
ποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυν-
θάνεσθαι· τοὺς θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεῳ σημαίνειν.
10 Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ·
πρῴ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει
καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν
ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι·
καὶ ἔλεγε μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν
11 ἀκούειν. οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς
οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν οὔτε λέγοντος
ἤκουσεν. οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ᾗπερ
τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο σκοπῶν ὅπως ὁ κα-
λούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει καὶ τίσιν
ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς
12 φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε. καὶ
πρῶτον μὲν αὐτῶν ἐσκόπει πότερά ποτε νομίσαντες
ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι ἔρχονται ἐπὶ τὸ περὶ
τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέν-
τες, τὰ δαιμόνια δὲ σκοποῦντες ἡγοῦνται τὰ προσ-
13 ήκοντα πράττειν. ἐθαύμαζε δ' εἰ μὴ φανερὸν αὐτοῖς
ἐστιν ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν·

---

1 ἀθέμιστα AB$^1$XZ ἀθέμιτα rell. 2 ἡγοῖτο O μαθόντες ἔδωκαν ποιεῖν O 5 ἂν om. B 7 πρωί codd. ᾔει] εἴη XY$^1$Z 9 πλείστης Z$^1$ μέλοι B 11 Σωκράτους om. B$^1$ 12 οὐδὲ] οὐδὲν B οἶδεν MORZ 13 γὰρ om. O περὶ] ὑπὲρ B$^1$ φύσεως om. B$^1$ 14 ὁ] οὖν X 15 ἔχοι A ἔφυ FL$^c$ ἔφη XL$^1$ 16 γίν. fere codd., nec notatum, nisi ubi ad γεν- referri possit 17 ἐπεδείκνυε(ν) γρ. B$^2$Φ Stob. II 11 ABS$^1$ § 12 om. Stob. 18 ποτε om. Y 19 τὰ ἀνθρώπινα A τἀνθρώπεια YZ ἐπὶ τὸ (τῷ B) ἐπὶ Y περὶ om. B 22 ἐστιν αὐτοῖς Stob.; an ἐστιν delendum? 23 ταῦτα ἀδύνατον Stob. alt. ἐστιν del. Ddf.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408458038/14 UNIVERSITÄT LEIPZIG